# TEZAUR LITURGIC

**20 NOIEMBRIE**

**GHEORGHIOS GALANOPOULOS**

# PARACLISUL
## SF.IERARH
# PROCLU,
## ARHIEPISCOPUL CONSTANTINOPOLULUI

**ATENA,2020**

www.tezaurliturgic.ro



# 20 ΝΟΕΜΒΡΙΟΣ

# ΠΡΟΚΛΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Βασιλευούσης τὸν μακάριον Πρόκλον, πατριαρχεύσαντα σεπτῶς καὶ ἐνθέως, ὡς μαθητὴν πανάριστον τοῦ πανευκλεοῦς, θείου Χρυσοστόμου μέλψωμεν, ὅτι ἔργοις τοῖς ἀγαθοῖς, τὸν Χριστὸν ἐδόξασεν, ἐκ ψυχῆς ἐκβοῶντες· ἐλευθερῶσαι ἅπαντας πιστούς, νόσων κινδύνων, ταχὺ σπεῦσον Ἅγιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Πατριάρχα Πρόκλε, δέξαι ᾄσμα. Γεωργίου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Παθῶν με ἀπάλλαξον χαλεπῶν, μακάριε Πρόκλε, καὶ εὐχάς σου δὸς τῷ Χριστῷ, ἡμῖν ὅπως δῷ λύσιν πταισμάτων, καὶ φωτισμὸν διανοίας τοῦ μέλψαι σε.

Ἀνύσας ἐνθέως βίου ὁδόν, στενὴν τεθλιμμένην, ἐμιμήσω τὸν Λυτρωτήν, ὑπὲρ οὗ ἠσκήθης θεαρέστως, Πρόκλε σεπτέ, πρεσβευτὰ τῶν ὑμνούντων σε.

Τοῦ σοῦ διδασκάλου τὰς ἀρετάς, Πατρὸς Χρυσοστόμου, ἐμιμήσω Πρόκλε πιστῶς, μεθ' οὗ συναυλίζῃ τῶν Ἁγίων, θείας χορείας ἧς πάντας κατάταξον.

*Θεοτοκίον.*

Ῥυσθῆναι παθῶν με φθοροποιῶν, δυσώπει Παρθένε, Ὅνπερ ἔτεκες εἰς βροτῶν ἀνάπλασιν, ἥκοντα βουλήσει, καὶ παρακάλει τρυφῆς ἀξιῶσαί με.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἱεράρχης Κυρίου πανευκλεὴς δέδειξαι, Πρόκλε καὶ διάδοχος θρόνου, τοῦ Χρυσοῤῥήμονος, μεθ' οὗ τῶν πιστῶν, ἱκέτευε ἀεννάως, τῶν παγίδων ῥύσασθαι, τοῦ πολεμήτορος.

Ἀρχεκάκου ἐνέδρας καὶ μηχανὰς σκόρπισον, ὦ Ἀρχιερεῦ ταῖς εὐχαῖς σου, ἐπαπειλοῦσας νῦν, ὅλως

δουλῶσαι ἡμᾶς, καὶ εἰς ἐρέβους τὰ βάθη, τῆς γεέννης ῥίψασθαι, πρὸς ἐξαφάνισιν.

Ῥώμην δὸς καὶ ὑγείαν τοῖς ἐν ᾠδαῖς ᾄδουσιν, ἆθλά σου καὶ ἔνδοξον μνήμην, Πρόκλε θεότιμε, εἰς ἀρωγὴν δ' εὐσεβῶν, ἐλθὲ κατὰ τῶν κινδύνων, καὶ ταχὺ ἐκλύτρωσαι, πάσης κακώσεως.

*Θεοτοκίον.*

Χρέος ἔχομεν Κόρη πρὸ Σὲ βροτοὶ ἅπαντες, ὅτι τὸν Θεὸν ἐν γαστρί Σου, φέρουσα ἔτεκες, Τοῦτον δυσώπει ἀεί, ἁμαρτιῶν ἡμῖν δοῦναι, τὴν ὀφλὴν ὡς εὔσπλαγχνος, καὶ μέγα ἔλεος.

Διάσωσον, ἐκ πάσης βλάβης καὶ νόσων τοὺς σὲ τιμῶντας, θεῖε Πρόκλε Πατὴρ ἡμῶν ἡδέσι μελίσμασι, σεπτὲ ποιμᾶντορ τῆς Βασιλευούσης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ὡς τεῖχον στεῤῥὸν σὲ Πρόκλε ἐπιστάμεθα, ἐφ' ᾧ ἡ ὀφρὺς Νεστορίου συντέτριπται, σαῖς εὐχαῖς πρὸς Κύριον, θεοφόρε Πάτερ καὶ θαύμασιν, ὅτι ἀγῶσιν ἔλλαμψας ἐν γῇ, ὡς θεῖος ποιμήν, ἀνύσας τὸν βίον σου.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἀληθῶς ἐθεώρησας, Παῦλον Χρυσοστόμου ὠσὶ μηνύοντα, ἑρμηνεῦσαι θεῖα γράμματα, Πρόκλε· ὅθεν φῶς Χριστοῦ δὸς ἅπασι.

Πόθον ἔχων πρὸς Κύριον, ἴχνεσιν Αὐτοῦ Πρόκλε ἠκολούθησας· ὅθεν πᾶσιν ἡμῖν δώρησαι, φίλτρον τὸ θερμὸν σοῦ ἐκμιμήσασθαι.

Ῥᾶνον πᾶσι τὴν χάριν σου, ἣν παρὰ Κυρίου Πρόκλε ἀπείληφας, καὶ τὰς νόσους ἡμῶν ἴασαι, ὡς θεραπευτὴν Πάτερ ἀνάργυρος.

*Θεοτοκίον.*

Ὁ λαὸς μεγαλύνει Σε, ὡς Θεοῦ Μητέρα τὴν παναμώμητον, γενεαὶ δὲ μακαρίζουσιν, ὄνομα τὸ Σὸν κόσμου διάσωσμα.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Κλίνομεν πρὸς σέ, τὰς καρδίας καὶ τὰ γόνατα, ἐκζητοῦντες πρεσβείαν σου τὴν θερμήν, Πρόκλε Ὑψίστῳ, τοῦ γενέσθαι πᾶσιν ἵλεων.

Λῦσον τὰ δεσμά, τῶν πταισμάτων ἡμῶν Ἅγιε, ὡς εὐσυμπαθὴς πέλων Χριστιανοῖς, καὶ νέμε κρείττω, θερμαῖς λιταῖς σου παντάπασιν.

Ἔλασον ταχύ, ἀφ’ ἡμῶν ἐχθροῦ τοξεύματα, ὁ σατᾶν συντρίψας βέλεμναν στεῤῥοῖς, ἐν ὁσιακοῖς ἀγῶσί σου θεότιμε.

*Θεοτοκίον.*

Δέσποινα ἡμῖν, τὴν Θεοῦ εἰρήνην βράβευσον, καὶ χαρὰν ἣν εἴληφας Μονογενοῦς, ἰδοῦσα πρώτη, τὴν ἐκ τάφου Τούτου Ἔγερσιν.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἐπίχαρμα, ἐγενόμην ἄθλιον, τοῦ βελίαρ ἁμαρτίας δουλεύσας, ὅτι κακῶν, ἡ ψυχή μου ἐτρώθη, καὶ ὡς ἀμνὸν πλανηθέντα ἀφήρπασεν, ἀλλὰ πρὸ τέλους ἐκβοῶ· ταῖς τοῦ Πρόκλου λιταῖς Σῶτερ σῶσόν με.

Ξενήκουστα, τὰ ἐν σοὶ παράδοξα, θείᾳ χάριτι ἐστὶ Πάτερ Πρόκλε· ὅθεν ἡμᾶς, ἐν σκηναῖς τῶν Δικαίων, καὶ ἐκλεκτῶν ἀξιῶσαι ὁ Κύριος, ἱκέτευε τῇ φοβερᾷ, τῆς ἐτάσεως ὥρᾳ καὶ μνήσθητι.

Αἱρεσεων, ἐξελοῦ τὸ πλήρωμα, Ὀρθοδόξων θεῖε Πρόκλε εὐχαῖς σου, ἁμαρτιῶν πειρασμῶν νοσημάτων, λύπης ἀνάγκης κινδύνων καὶ θλίψεων, ὀργῆς Θεοῦ καὶ συμφορῶν, ἱεροῖς μεγαλύνειν σε ᾄσμασιν.

*Θεοτοκίον.*

Ἱκέτευε, τὸν Σὸν Τόκον ἄσπιλε, ὡς Μητέρα τοῦ Θεοῦ ὑπὲρ πάντων, Σαῖς εὐπροσδέκτοις πρὸς Τοῦτον

πρεσβείαις, ἡγιασμένη Σκηνὴ καὶ εὐρύχωρος, τοῦ Θεοῦ Λόγου ἀληθῶς, ὅπως μέγα δωρήσηται ἔλεος.

Διάσωσον, ἐκ πάσης βλάβης καὶ νόσων τοὺς σὲ τιμῶντας, θεῖε Πρόκλε Πατὴρ ἡμῶν ἡδέσι μελίσμασι, σεπτὲ ποιμᾶντορ τῆς Βασιλευούσης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ὡς φρουρόν σε καὶ ἀντιλήπτορα κατέχομεν, Πρόκλε εὐκλεὲς καὶ μορφήν σου ἀσπαζόμεθα, ἐκβοῶντές σοι μετὰ δακρύων καὶ προσευχῶν· Ἅγιε ποιμὴν πρόσχες ἡμῖν, καὶ ἐλευθέρωσον λαόν, ἐκ δεινῶν περιστάσεων, ῥῦσαι δ' ἐκ πάσης βλάβης, αἱρετικῶν καὶ μανίας, τὸ Γένος τῶν Χριστιανῶν, ἀεὶ πρεσβεύων πρὸς Κύριον.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι΄, 9-16).*

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται,

καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μὴ οὖν ἀποῤῥίψῃς με, σαρκὸς τὸν μεμολυσμένον, καὶ παθῶν τὸν ἄσωτον, σὲ νῦν καταφεύγοντα Πρόκλε ἔνδοξε· Ἅγιε σῶσόν με, πιστῶς προσπίπτοντα, τῇ εἰκόνι σου ἀσπάσασθαι, ἴασιν ἄμφω δός, τάχιστα καὶ ῥῦσαι κακώσεων, θλίψεων ἐξαιρούμενον, καὶ τῶν

δυσμενῶν συμφορῶν τοῦ βίου, ἵνα μεγαλύνω, τὴν μνήμην ἀρετὰς καὶ θαυμαστά, ἃ κατεργάζῃ θεότιμε, χαίροις σοι φθεγγόμενος.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀεισέβαστον μνήμην σὴν τελοῦντες ἐν πίστει Ἀρχιεράρχα σεπτέ, αἰτουμεθα λιταῖς σου, κολάσεως ῥυσθῆναι, οἱ ἀπαύστως κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὸς Πατριάρχης Λόγε ἐπὶ τοῦ Χρυσοστόμου θρόνου ἀνῆλθε λαμπροῦ, ὡς μαθητὴς θεόφρων, δοξάσας Σε ἐν ἄθλοις, ὁ ἀρδεύων νῦν χάρισι, τοὺς εὐφημοῦντας αὐτόν, καὶ Σὲ δοξολογοῦντας.

Μεθύσκεις θείους γλεύκους ὡς εἰληφὼς τὴν χάριν κατὰ παθῶν ἐκ Χριστοῦ, τοὺς σοὶ ἰόντας Πρόκλε, καὶ κράζοντας ἀπαύστως· πειρασμῶν ἐλευθέρωσον, ὀδυνηρῶν συμφορῶν, καὶ νόσων ἀνιάτων

*Θεοτοκίον.*

Ἁγνὴ τὴν τοῦ Τεκόντος ἐκ Σοῦ ἰσχὺν παράσχου τοῖς Σὲ ὑμνοῦσι πιστῶς· ἐλθὲ Φῶς ἡ τεκοῦσα, πρὸς γένους σωτηρίαν, τάχει νῦν καταυγᾶσαί μου, φρενῶν καρδίας ψυχῆς, τὸ ἐρεβῶδες σκότος.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Γάννυται μέγα, πλῆθος ἐν σοὶ Ὀρθοδόξων, καὶ Χριστῷ βοᾷ ἐν εὐφροσύνῃ· σῶσον ἡμᾶς Σῶτερ, εὐχαῖς τοῦ θείου Πρόκλου.

Ἐλέους θείου, καὶ δωρεῶν ἡμᾶς πλῆσον, ταπεινῶς φρονεῖν ἵν’ ἀνυμνοῦμεν, σὲ τὸν τοῦ Δεσπότου, γνήσιον φίλον Πρόκλε.

Ὤφθης πολλάκις, Πρόκλε πιστοὺς περισκέπων, ὡς παντάνακτος σημειοφόρος· ὅθεν ἡμᾶς σκέπε, καὶ ἴασαι ἐκ νόσων.

*Θεοτοκίον.*

Ῥῦσαι γεέννης, τῶν οὐρανῶν πλατυτέρα, καὶ βροτῶν ἁγνὴ ἁγιωτέρα, πάντας τοὺς ὑμνοῦντας, τὴν Σὴν κηδεμονίαν.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον παράσχου, βίον θεῖε Πρόκλε, πᾶσιν ἡμῖν ἱερεῦσι καὶ δούλοις Χριστοῦ, καὶ ἐξελοῦ λαὸν Τούτου, βλάβης αἱρέσεων.

Ἱκέτευε Σωτῆρα, ὅπως ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ ἡμᾶς, καὶ παθῶν τοὺς θείαν μνήμην σου Πάτερ πανηγυρίζοντας.

Ὁ δοὺς θεοπασχῖταις, θαῦμα σῇ δεήσει, τὴν ἁρπαγὴν ἐν ἀέρι παιδὸς εἰς ὀρθήν, τοῦ Τρισαγίου τελείωσιν ὕμνου πρόσχες μοι.

*Θεοτοκίον.*

Ὑψίστου χρυσοῦς Θρόνος, πέλεις Σὺ ἐν πόλῳ· διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῆ Θεοτόκον ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Νόσους ἀποδίωξον λοιμικάς, ἀφ᾽ ἡμῶν καὶ πάθη, Πατριάρχα πανευκλεές, σαῖς θερμαῖς πρεσβείαις, Χριστὸν καθικετεύων, τῶν θλίψεων δὲ νέφη, τάχει διάλυσον.

Εὔχου ἐγκλημάτων δοῦναι ὀφλήν, καὶ ἡμῶν πταισμάτων, ὁ δοξάσας σε Ἰησοῦς, οὗ τοὔνομα μέγα, ἐτράνωσας καὶ πίστιν, αἱρετικοῖς ἀφόβως, ἐπιβεβαίωσας.

Δὸς ἡμῖν ἀμείνω ταῖς σαῖς λιταῖς, Χριστοῦ τὴν εἰρήνην, ὦ θεόῤῥημον καὶ χαράν, ἱλασμὸν

πταισμάτων, ταπείνωσιν ἀγάπην, φόβον Θεοῦ σὺν πίστει, βίου διόρθωσιν.

Ποίει ποίμνης γαίας Ἑλληνικῆς, σαῖς θερμαῖς πρεσβείαις, εἶναι ἄμπελον τοῦ Χριστοῦ, ἵν᾽ ἀεὶ τιμᾷ σε, θεόσοφε ἐν ὕμνοις, πρὸς τρίβον μετανοίας, ἰθύνων ἕκαστον.

Τῷ ἀπροσμαχήτῳ ὅπλῳ Σταυροῦ, τειχισθεὶς ἐξῆλθες, πολεμῆσαι αἱρετικούς· ὅθεν ἡμᾶς πάντας, περίζωσον ἰσχύϊ, Πρόκλε εὐχῆς νηστείας, φεύγειν τοὺς δαίμονας.

Πάρεσο μεσίτης πρὸς τὸν Θεόν, τῶν σὲ ἀνυμνούντων, Πατριάρχα πανευκλεές, δοῦναι σωτηρίας, ἀπόφασιν ἐν κρίσει, Αὐτοῦ θείῳ ἐλέει, ζωὴν δ᾽ αἰώνιον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Πέλεις, Ὀρθοδόξων ὁδηγός, τεῖχος ὀχυρὸν ἀντιλήπτωρ, καὶ τῶν πτωχῶν ἀρωγός, Πρόκλε πανσεβάσμιε, ἐν Πατριάρχαις σεπτέ, Ἐκκλησίας ὁ πρόμαχος, πιστῶν ὁ προστάτης, κατὰ τῶν αἱρέσεων, Ἱεραρχῶν ἡ τρυφή· ὅθεν, δίδου πᾶσι τὰ κρείττω, σώζων ἐκ φθορᾶς νοσημάτων, καὶ δεινῶν τοὺς μνήμην σου γεραίροντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου…

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι…

